Ακαδημία Αθηνών / Academy of Athens

περιχώρησιν ταύτην, ἣν νῦν π ε ρ ι χ ω ρ έ ε ι τά τε ἄστρα καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ ἀὴρ καὶ ὁ αἰθὴρ οἱ ἀποκρινόμενοι. Πρβλ. περιχώρησις, δίνη.

**περιχώρησις.** Περιστροφή/περιδίνηση, rotation/revolution, Ἀναξαγόρας 12.12-19-21 *καὶ τῆς π ε ρ ι χ ω ρ ή σ ι ο ς τῆς συμπάσης νοῦς ἐκράτησεν, ὥστε περιχωρῆσαι τὴν ἀρχήν. καὶ πρῶτον ἀπό του σμικροῦ ἤρξατο περιχωρεῖν, ἐπὶ δὲ πλέον περιχωρεῖ, καὶ περιχωρήσει ἐπὶ πλέον ... καὶ τὴν π ε ρ ι χ ώ ρ η σ ι ν ταύτην, ἣν νῦν περιχωρέει τά τε ἄστρα καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ ἀὴρ καὶ ὁ αἰθὴρ οἱ ἀποκρινόμενοι. ἡ δὲ π ε ρ ι χ ώ ρ η σ ι ς αὐτὴ ἐποίησεν ἀποκρίνεσθαι* 13.4 *κινουμένων δὲ καὶ διακρινομένων ἡ π ε ρ ι χ ώ ρ η σ ι ς πολλῷ μᾶλλον ἐποίει διακρίνεσθαι.* Πρβλ. *περιχωρεῖν, δίνη.*

**περιώσιος.** Ὑπεράφθονος/ἔξοχος, exceeding/surpassing, Ἐμπεδοκλῆς 129.1 *ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ π ε ρ ι ώ σ ι α εἰδώς.* Πρβλ. *σοφός.*

**περόνη.** Περόνη/καρφί, pin, Παρμενίδης 1.20 *γόμφοις καὶ π ε ρ ό ν η σ ι ν ἀρηρότε.*

**πεσσεύειν.** Παίζω τοὺς πεσσούς, play the draughts, Ἡράκλειτος 52 *αἰὼν παῖς ἐστι παίζων, π ε σ σ ε ύ ω ν· παιδὸς ἡ βασιληίη.*

**πέταλον.** Φύλλο/πλάκα, leaf/broad tile, Ἀναξιμένης 2a *πλατὺν ὡς π έ τ α λ ο ν τὸν ἥλιον.*

**πέψις.** Ὡρίμανση, maturation, Μενέστωρ 4 *ὡς δὲ Μενέστωρ φησίν, ἡ μὲν βλάστησις αὐτῆς ὀψία διὰ τὴν ψυχρότητα τοῦ τόπου, ἡ δὲ π έ ψ ι ς ταχεῖα διὰ τὴν ἀσθένειαν.* Πρβλ. *βλάστησις.*

**πῆ.** Πῶς/μὲ ποιὸ τρόπο, how/in what way, Παρμενίδης 8.7 *π ῆ πόθεν αὐξηθέν;* Ἐμπεδοκλῆς 3.9 *π ῆ δῆλον ἕκαστον* 17.33 *π ῆ δέ κε κήξαπόλοιτο, ἐπεὶ τῶνδ' οὐδὲν ἔρημον;*

**πηγὴ 1.** Πηγή, source, Ξενοφάνης 30.1 *π η γ ὴ δ' ἐστὶ θά-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*λασσ(α) ὕδατος, π η γ ὴ δ' ἀνέμοιο* **2.** Πηγαῖο ὕδωρ/νάμα, spring water/spring, 'Εμπεδοκλῆς 3.2 *ἐκ δ' ὁσίων στομάτων καθαρὴν ὀχετεύσατε π η γ ή ν.*

**πηγνύναι.** Πλάσσω/συγκροτῶ, fashion/construct, 'Εμπεδοκλῆς 86 *ἐξ ὧν ὄμματ' ἔ π η ξ ε ν ἀτειρέα δῖ' 'Αφροδίτη.* || **πήγνυσθαι 1.** Πλάσσομαι/συμπήγνυμαι, be formed/be constructed, 'Εμπεδοκλῆς 15.4 *πρὶν δὲ π ά γ ε ν τε βροτοὶ καὶ ⟨ἐπεὶ⟩ λύθεν, οὐδὲν ἄρ' εἰσιν* 75.1 *τῶν δ' ὅσ' ἔσω μὲν πυκνά, τὰ δ' ἔκτοθι μανὰ π έ π η γ ε* 107.1 *ἐκ τούτων ⟨γὰρ⟩ πάντα π ε π ή γ α σ ι ν ἁρμοσθέντα* **2.** Πήζω/στερεοποιοῦμαι, congeal/be solidified, 'Εμπεδοκλῆς 56 *ἅλς ἐ π ά γ η ῥιπῇσιν ἐωσμένος ἠελίοιο.* Πρβλ. *συμπήγνυσθαι.*

**πημαίνειν** (συνών. *βλάπτειν*, ἀντίθ. *ὠφελεῖν*). Προξενῶ μεγάλη βλάβη/κακουργῶ, cause great injury/commit a crime, Δημόκριτος 258 *κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντός.*

**πήρωσις.** 'Αναπηρία/βιολογικὴ ἀδυναμία, physical disability/biological weakness, Δημόκριτος 296 *γῆρας ὁλόκληρός ἐστι π ή ρ ω σ ι ς· πάντ' ἔχει καὶ πᾶσιν ἐνδεῖ.*

**πιαίνειν.** Παχύνω/πλουτίζω, fatten/enrich, Ξενοφάνης 2.22 *οὐ γὰρ π ι α ί ν ε ι ταῦτα μυχοὺς πόλεως.*

**πίειρα** (γῆ). Λιπαρὴ (γῆ)/εὔφορη, fat (earth)/fertile, Μενέστωρ 6 ἡ δὲ *π ί ε ι ρ α* (sc. *γῆ*) πάμπαν οὐδενὶ ξυμφέρει φυτῷ.

**πικρός** (ἀντίθ. *γλυκύς*). Πικρός, bitter, 'Εμπεδοκλῆς 90.1 *ὡς γλυκὺ μὲν γλυκὺ μάρπτε, π ι κ ρ ὸ ν δ' ἐπὶ π ι κ ρ ὸ ν ὄρουσεν, ὀξὺ δ' ἐπ' ὀξὺ ἔβη, δαερὸν δ' ἐποχεῖτο δαηρῷ* Δημόκριτος 9 *νόμῳ ... γλυκὺ ... νόμῳ π ι κ ρ ὸ ν* 125 *νόμῳ χροιή, νόμῳ γλυκύ, νόμῳ π ι κ ρ ὸ ν ... ἐτεῇ δ' ἄτομα καὶ κενόν.*

**πίμπλασθαι.** Πληροῦμαι/γεμίζω, be filled/fill, Παρμενίδης 1.13 *ἔνθα πύλαι Νυκτός τε καὶ Ἤματός εἰσι κελεύθων, καί σφας ὑπέρθυρον ἀμφὶς ἔχει καὶ λάινος οὐδός· αὐταὶ δ' αἰθέριαι π λ ῆ ν-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ